www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγίον μεγαλομάρτυρα Γεώργιον τὸν τροπαιοφόρον

ἦχος πλ. Α΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἱλαρίωνος Μοναχοῦ*

Ἕτερος εἰς τὸν αὐτὸν Ἅγιον, οὗ ἡ ἀκροστιχίς, «Γεωργίῳ τῷ τροπαιοφόρῳ ὕμνος», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.», Ἦχος πλ.α΄.

*ᾨδὴ Α΄ Τῷ σωτῆρι Θεῷ.*

Γεωργίῳ ᾠδήν, τῷ στεφανίτῃ Χριστοῦ, καὶ τροπαιούχῳ ἐφιέμενος, Θεὲ Πατέρων ἀναμέλψαι φωταγώγησον, τὸν νοῦν μου τῇ χάριτι, τῇ σῇ φιλάνθρωπε.

Ἑωσφόρος ἀστήρ, μαρμαρυγαῖς τῶν λαμπρῶν, τὴν οἰκουμένην περιηύγασας, ἀγωνισμάτων σου φαιδραῖς μάκαρ Γεώργιε, μαρτύρων ἀγλάϊσμα πανευκλεέστατον.

Ὣς τὶς ἄλλος χοροῦ, Χριστοῦ μαρτύρων σοφέ, τροπαιοφόρε προηγούμενος, τὰς τῶν ἐχθρῶν παρεμβολὰς ἀνδρείως ἔτρεψας, τελείως Γεώργιε θεομακάριστε.

*Θεοτοκίον.*

Ἰησοῦν τῇ φωνῇ, τοῦ Γαβριὴλ ἐν γαστρί, σχοῦσα Παρθένε ἠλευθέρωσας, τῆς τοῦ θανάτου καταδίκης διὰ βρώσεως, τὸ πρὶν φύσιν βρότειον ἐξολισθήσασαν.

*ᾨδὴ Γ΄ Δυνάμει τοῦ σταυροῦ.*

Ῥωννύμενος ἐξ ὕψους δειναῖς, βασάνοις μάρτυς, προσεχώρησας, ἀναδησάμενος νίκης, τοὺς στεφάνους παμμακάριστε.

Γενναίως πρὸ βημάτων ἑστώς, τῶν ἐναντίων διεκήρυξας, Χριστὸν ὡς πάντων Δεσπότην, καὶ Θεὸν σοφὲ Γεώργιε.

Ἱμάτιον καθάπερ τὴν σήν, σάρκα θεόφρον, ἐκδησάμενος, ἐν ταῖς βασάνοις χιτῶνα, τῆς ζωῆς ὑπέδης ἔνδοξε.

*Θεοτοκίον.*

Λυτήριον ἐδείχθης ἀρᾶς, τοῦ Ἀρχαγγέλου τοῖς μνήμασι, ἐν τῇ γαστρὶ συλλαβοῦσα, πανακήρατε τὴν λύτρωσιν.

*Ὠδὴ Δ΄ Εἰσακήκοα τὴν ἀκοήν.*

Ὡς πανένδοξόν σε στρατιώτην τοῦ Χριστοῦ, στεφανηφοροῦντα Γεώργιε ἀεί, μακαρίζομεν, καὶ ἐνθέοις ὕμνοις γεραίρομεν.

Τὸν πανώδυνον ἐν τῷ τροχῷ τῆς σῆς σαρκός, καρτερικῶς μελισμόν, ὑπέμενες Χριστῷ ἀναβοῶν ἀγαλλόμενος, δόξα τῇ δυνάμει σου Κύριε.

Ὡμολόγησας Θεὸν σαρκί, ἐπιφανέντα καθ᾽ ἡμᾶς, τὸν Χριστὸν Γεώργιε, μὴ πτήξας δυσσεβῶν τὴν ἀπόνοιαν, ὅθεν νίκης γέρας ἀπείληφας.

*Θεοτοκίον.*

Ἀναμέλπων σε ὁ Γαβριήλ, Χαῖρε ἐξ ὕψους καταπτάς, Κεχαριτωμένη τοῦ γένους τῶν βροτῶν, τὴν ἀνάκλησιν, σοὶ εὐηγγελίσατο ἄφθορε.

*Ὠδὴ Ε΄ Ὀρθρίζοντες βοῶμέν σοι.*

Τοῖς πέρασι τοῦ κόσμου ἐξέλαμψας, θαυματουργῶν, ἀθλητὰ Γεώργιε, διό σε πίστει γεραίρομεν.

Ῥοαῖς τῶν σῶν αἱμάτων κατήρδευσας, τρισαριστεῦ, τὴν σὲ μακαρίζουσαν, ποίμνην ἀθλητὰ τὴν χριστώνυμον.

Ὁρμὰς τῆς ἀθεΐας ἀνέστειλας, μάρτυς Χριστοῦ, τοῖς σοῖς ἀγωνίσμασι, τροπαιοφόρε Γεώργιε.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥημάτων τοῦ Ἀγγέλου Πανάχραντε, τοῦ Γαβριήλ, τῆς χαρᾶς ὡς ἤκουσας, Ἁγνὴ τὸν Λόγον συνέλαβες.

*ᾨδὴ ΣΤ΄ Μαινομένην κλύδωνι.*

Πτερουμένην ἔνδοξε, τὴν διάνοιαν ὡς ἐσχηκώς, πρὸς τὰ ἄνω χαίρων προσεχώρησας, πανευσθενῶς, πρὸς τὰς βασάνους Γεώργιε.

Ἀναστήσας ἔδειξας, νεκρὸν μάρτυς τοῖς θεραπευταῖς, τῶν εἰδώλων ἅγιε τὴν δύναμιν, τοῦ Ἰησοῦ, Χριστοῦ τοῦ πάντων δεσπόζοντος.

Ἱερὰν Γεώργιε, προσανέθου φάλαγγα Χριστῷ, Ἀλεξάνδραν καὶ τὸν Πρωτολέοντα, καὶ Ἀθανάσιον καὶ Γλυκέριον.

*Θεοτοκίον.*

Ἰησοῦν Θεόνυμφε, ἀπειράνδρως ἕξῃ ἐν γαστρί, σοὶ ὁ Γαβριὴλ προανεφώνησε, τῆς ἐν Ἐδὲμ παρακοῆς εἰς ἀναίρεσιν.

*ᾨδὴ Ζ΄ Ὁ ὑπερυψούμενος.*

Ὅλῃ ψυχῇ ὢν σοφέ, ἐν τοῖς βασάνοις ἀνεβόας, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Φυτὸν καθάπερ καρπόν, ἑκατοστεύοντα ἐδείχθης, Χριστῷ προσφέρων πληθύν, πανευκλεῶν ἀθλητῶν.

Οἱ ἐν κινδύνοις πολλοῖς, Γεώργιε τροπαιοφόρε, τούτων τὴν παῦλαν τυχεῖν, σοὶ καταφεύγομεν.

*Θεοτοκίον.*

Ὢ τῶν φρικτῶν τῶν ἐν σοί, Παρθενομῆτορ μυστηρίων, ἀγγελικῇ γὰρ φωνῇ Θεὸν ἐνώκησας.

*ᾨδὴ Η΄ Σοὶ τῷ Παντουργῷ.*

Ῥύμην ἀπεχθοῦς, εἰδωλικῆς μανίας, πανένδοξε ἔστησας, μάρτυς Γεώργιε, τῇ κρατερᾷ σου ἐνστάσει ἐν τοῖς ἄθλοις, ὅθεν σε ἐν ὕμνοις ἐνθέοις εὐφημοῦμεν.

Ὡς πανευκλεῆ Χριστοῦ σε στεφανίτην, τρισμάκαρ Γεώργιε, στερρὸν προπύργιον, ἐν περιστάσεσι ἀεὶ καὶ ἐν κινδύνοις, ἔχομεν ἔνδοξε καὶ ἰατρὸν ἐν νόσοις.

Ὕμνον τῇ μιᾷ τρισυποστάτῳ φύσει, πιστοὶ τὸν τρισάγιον ἄδοντες λέγομεν, Πάτερ καὶ Λόγε καὶ τὸ Ἅγιον Πνεῦμα, Θεὲ Πατέρων σκέπε, τὴν σὴν ποίμνην καὶ φρούρει.

*Θεοτοκίον.*

Νόμων μητρικῶν, χωρὶς Ἁγνὴ τὸν Λόγον, ἐν μήτρᾳ συνέλαβες, φωνὴν χαρμόσυνον, τοῦ Ἀρχαγγέλου Κόρη ἐνωτισθεῖσα, Κεχαριτωμένη, εἰς σωτηρίαν κόσμου.

*ᾨδὴ Θ΄ Ἠσαΐα χόρευε.*

Μνήμην τὴν πανέορτον, Γεωργίου τὴν φωτολαμπῇ, τελοῦντες χαρμονικῶς, ἄσωμεν ᾠδήν, ἐνθέως χορεύοντες καὶ ἐν θερμῇ πίστει πρὸς αὐτόν, προσείπωμεν ἅγιε, ἡμᾶς σκέπε τοὺς τιμῶντάς σε.

Νικηφόρος ἔνδοξος, ἀνεδείχθης τῇ ἀποτομῇ, τῆς κάρας σου ἀθλητά, κατὰ τῶν ἐχθρῶν, καὶ χαίρων κατέλαβες, στεφηφορῶν τὰ ἀγαπητά, Κυρίου σκηνώματα, τῶν μαρτύρων ἀγαλλίαμα.

Ὁ τῷ θρόνῳ ἅγιε, σὺν Ἀγγέλοις, μάρτυς τοῦ Χριστοῦ, Γεώργιε παρεστώς, πρέσβευε ἀεί, ὑπὲρ τοῦ πονήσαντός σοι τὴν ᾠδήν, ὥς μοι ἐφικτόν, λύσιν δοθῆναί μοι, τῶν πολλῶν μου παραπτώσεων.

Σύ με κατοικτείρησον, ὁ Θεός μου καὶ Δημιουργός, Μονὰς ἡ Τριαδική, Πάτερ καὶ Υἱέ, καὶ Πνεῦμα τὸ Ἅγιον, ὅπως τῶν σῶν θείων ἐντολῶν, τῇ εὐσπλαγχνίᾳ σου, τούτων ἔναρξιν ποιήσωμαι.

*Θεοτοκίον.*

Μήτηρ ὡς ὑπάρχουσα, τῶν ἐν Ὄρει Ἄθω ἀγαθή, καὶ Ἔφορος καὶ φρουρός, ἅμα καὶ τροφός, πατέρων Πανύμνητε, τῶν δυσμενῶν τὰς ἐπιβουλάς, ἀποσκοράκισον, ἵν᾽ ἀεί σε μεγαλύνομεν.

*Προσόμοια. Χαίροις ἀσκητικῶν.*

*Ἦχος πλ.α΄.*

Χαίροις ὁ λαμπροφόρος ἀστήρ, ὁ ἐξ Ἑώας ἀνατείλας Γεώργιε, καὶ πᾶσαν τὴν οἰκουμένην, καταφαιδρύνας αὐγαῖς, τοῖς νικητικοῖς σου ἀγωνίσμασι, καὶ σκότος εἰδωλικῶν, σεβασμάτων τρισένδοξε, ἀποδιώξας, τροπαιοῦχος ἀνέδραμες, τῷ Δεσπότῃ σου, ὃν ἀπαύστως ἱκέτευε, νόσων ἡμᾶς λυτρώσασθαι, παντοίων τοῦ σώματος, καὶ τῶν ψυχῶν τὰς κηλίδας, ἀποκαθᾶραι ὡς εὔσπλαγχνος, καὶ τῆς οὐρανίου Βασιλείας ἀξιῶσαι ὡς ὑπεράγαθος.

Πάσῃ τῇ περιγείῳ τῶν σῶν, τὰ πλήθη μάκαρ, θαυμασίων διέδραμε, ὡς ῥύστης τῶν αἰχμαλώτων, χειμαζομένων λιμήν, καταπονουμένων ἡ βοήθεια, νοσούντων ἡ ἴασις, θλιβομένων παράκλησις, ἀδικουμένων ἡ βεβαία ἀντίληψις καὶ συγχώρησις, τῶν πταιόντων Γεώργιε, μάρτυς πανευκλεέστατε, τοὺς πόθῳ τελοῦντάς σου, τὴν πανσεβάσμιον μνήμην, καὶ πανιέροις γεραίροντας, ἐν ὕμνοις παράσχου, ταῖς ἀπαύστοις σου πρεσβείαις, δεινῶν τὴν λύτρωσιν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δεῦρο τροπαιοφόρε Χριστοῦ, ἡμῶν ἐν μέσῳ στεφανίτα Γεώργιε, τῶν τέκνων σου τῶν τελούντων, μνήμην σου πίστει θερμῇ, τὴν φωτοβολοῦσαν τῆς ἐγέρσεως, αὐγαῖς τοῦ Θεοῦ ἡμῶν, ὃν ἀεὶ καθικέτευε, τὴν σὲ προστάτην, κεκτημένην ἀλώβητον, διασώζεσθαι, ἐκ παντοίων κακώσεων, ζάλης καὶ περιστάσεων, Μονήν σου πανεύφημε, καὶ περαιούντων ἐν ταύτῃ τὸν τῆς ζωῆς δρόμον ἅγιε, συγχώρησιν αἴτει, δωρηθῆναι τούτοις πάντων τῶν παραπτώσεων.

Χαίρε ὁ Γαβριὴλ σοι φωνῶν, Ἁγνὴ Παρθένε, ὁ φαιδρὸς Ἀρχιστράτηγος, σκηνῶν ἐξ ὑπερκοσμίων, εἰς Ναζαρὲτ καταπτάς, τὰ τῆς σωτηρίας εὐαγγέλια, ἐν φόβῳ τε καὶ χαρᾷ, τῶν βροτῶν τὴν ἀνάκλησιν, προσεπιλέγει διὰ σοῦ Κόρη ἔσεσθαι, ἐν τῇ μήτρᾳ σου, καὶ γὰρ ἕξῃ ἀπείρανδρε, Λόγον τὸν ὁμοούσιον, Πατρὶ καὶ συνάναρχον, καὶ συναΐδιον ὄντα, τῷ Παναγίῳ τε Πνεύματι, ἀεὶ ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ